20,5 καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαὸν λέγοντες Τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν.
I K (Πιε)
om. καί 1° I: init. | om. ὁ 1° I = $M^{c}$ … | εἰς τὴν οἰκίαν]επι τον οικον I

20,6 καὶ τίς ὁ ἄνθρωπος, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ.
I K (Πιε)
om. ὁ I = 29 …

20,7 καὶ τίς ὁ ἄνθρωπος, ὅστις μεμνήστευται γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος λήμψεται αὐτήν.
I K (Πιε)
om. ὁ I = F … | τὴν οἰκίαν]τον οικον I | λήμψεται]ληψ. I = $F^{b}$ …

20,8 καὶ προσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν καὶ ἐροῦσιν Τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; πορευέσθω καὶ

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ ὥσπερ ἡ αὐτοῦ.
I K (Πιε)
om. ὁ I = A ... | τῇ] pr. εν I | ἡ]την I = V ...

20,10 Ἐὰν δὲ προσέλθῃς πρὸς πόλιν ἐκπολεμῆσαι αὐτήν, καὶ ἐκκαλέσῃ αὐτοὺς μετ' εἰρήνης.
I K (Πιε) R (Πια) II R (Φια) $M^{PM}$ (Φϑ)
om. δέ I II = 77* | προσέλθῃς]-ϑη K = 319; εισελϑης R (I) $M^{PM}$ = 46 ... | πρός]εις R (I) $M^{M}$ = 319 | προσέλθῃς/πρὸς πόλιν ἐκπολεμῆσαι αὐτήν] tr. ($M^{M}$ εις loco προς; $M^{PM}$ εισελϑης) $M^{PM}$ | ἐκκαλέσῃ]-σει R (II) $M^{M}$ = 58 ...; -σης R (I) = F ...

20,11 ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσίν σοι καὶ ἀνοίξωσίν σοι, ἔσται πᾶς ὁ λαὸς οἱ εὑρεθέντες ἐν αὐτῇ ἔσονταί σοι φορολόγητοι καὶ ὑπήκοοί σου.
I K (Πιε) R (Πια) II R (Φια) $M^{PM}$ (Φϑ)
ἐάν] pr. και R (I) = $552^{txt}$ 125 Aeth; pr. και εσται K = $A^{c}$ ... | om. καί – σοι 2° II: σοι 1° ⌒ 2° | αὐτῇ]τη πολει I II = rell | ὑπήκοοι]υπεικοντες R (I) | σου]σοι I = rell; om. II = 426 75 $^{Lat}$Aug

20,12 ἐὰν δὲ μὴ ὑπακούσωσίν σοι καὶ ποιήσωσιν πρὸς σὲ πόλεμον, περικαθιεῖς αὐτήν.
I K (Πιε ) R (Πια)
σοι]σου R = V 551 | παρακαθιεῖς]-καθιση R; -καϑης K; pr. και K = C' ...

20,13 καὶ παραδώσει αὐτὴν κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φόνῳ μαχαίρας.
I K (Πιε) R (Πια)
παραδώσει]-ση K | om. ὁ θεός σου K | πατάξεις]-ξης K = 618 ... | αὐτῆς]αυτου R = 799

20,14 ab (aα) πλὴν τῶν γυναικῶν
(aβ) καὶ τῆς ἀποσκευῆς
(b) καὶ πάντα τὰ κτήνη καὶ πάντα, ὅσα ἂν ὑπάρχῃ ἐν τῇ πόλει, καὶ πᾶσαν τὴν ἀπαρτίαν προνομεύσεις σεαυτῷ.
I ab: R (Πια); aα: K (Πιε)
τῆς ἀποσκευῆς]την αποσκευην R | σεαυτῷ]εαυτω R = cI ...

20,19 (a) Ἐὰν δὲ περικαθίσῃς περὶ πόλιν ἡμέρας πλείους ἐκπολεμῆσαι αὐτὴν εἰς κατάλημψιν αὐτῆς,
(b) οὐκ ἐξολεθρεύσεις τὰ δένδρα αὐτῆς ἐπιβαλεῖν ἐπ' αὐτὰ σίδηρον,
(c) ἀλλὰ ἀπ' αὐτοῦ φάγῃ, αὐτὸ δὲ οὐκ ἐκκόψεις.


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

(d) μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ ἀγρῷ εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα;
I a–d: K (Πιε); a–c: R (Πια)
om. δέ K = 630 | περικαθίσῃς]-ση K; καθισης R | περί]προς K | κατάλημψιν]-λημψ. I = $F^b$ ... | ἐξολεθρεύσεις]-ολοθρευσεις (-σης K) I = $F^b$ ... | ἐπ']επι K | ἀλλά]αλλ I = M ... | αὐτοῦ]αυτων R = 72 ... | αὐτό] αυτα R = 72 ... | ἐκκόψεις]-ψης K; εξολοθρευσεις R | ἄνθρωπος]αφης K | om. τῷ K

20,20 ἀλλὰ ξύλον, ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστιν, τοῦτο ἐξολεθρεύσεις καὶ ἐκκόψεις καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιεῖ πρὸς σὲ τὸν πόλεμον, ἕως ἂν παραδοθῇ.
I K (Πιε)
ἀλλά]αλλ η I | ἐξολεθρεύσεις]εξολοθρευσης I = rell | ἐκκόψεις]-ψης I | οἰκοδομήσεις]-σης I | ποιεῖ]ποιησει I = V ... | om. τόν I = 848 ...

21,18 Ἐὰν δέ τινι ᾖ υἱὸς ἀπειθὴς καὶ ἐρεθιστὴς οὐχ ὑπακούων φωνὴν πατρὸς καὶ φωνὴν μητρὸς καὶ παιδεύσωσιν αὐτὸν καὶ μὴ εἰσακούῃ αὐτῶν.
I V (Πκγ) $M^P$ (Πμβ)
om. δέ I = F 376 | τινι/ᾖ] tr. I = 82 Arm Syh | ἐρεθίστης]ερεθισθεις $V^V$; εριθισθεις $V^E$ | οὐχ]ουκ $V^VM^P$ = B* ... | om. φωνήν 1° – καί 2° $V^{WMi}$: φωνήν 1° ⌒ 2° | φωνήν 1°]φωνης $M^P$ = 72 ... | πατρός]+αυτου $V^{EV}M^P$ = K ... | φωνήν 2°]φωνης $V^WM^P$ = 72 ... | παιδεύσωσιν] -σουσιν $V^{WEV}M^P$ = 72 319

21,19 abα καὶ συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἐξάξουσιν αὐτὸν ἐπὶ τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ.
I V (Πκγ) $M^P$ (Πμβ)
om. καί 3° I = rell | ἐξάξουσιν]αξουσιν (εξουσιν $V^V$) I = C ... | τὴν γερουσίαν]της γερουσιας I | αὐτοῦ 3°] αυτων I = rell

21,20 abcα (a) καὶ ἐροῦσιν τοῖς ἀνδράσιν τῆς πόλεως αὐτοῦ
(b) Ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει,
(cα) οὐχ ὑπακούει τῆς φωνῆς ἡμῶν.
I a–cα: $V^{WEV}$ (Πκγ) $M^P$ (Πμβ); bcα: $V^{Mi}$ (Πκγ)
αὐτοῦ]αυτων $V^{WEV}M^P$ = rell | Ὁ] pr. λεγοντες I = $F^a$ ... | ἀπειθεῖ] απειθης (-θεις $M^P$) εστιν I | οὐχ] pr. και I = 72 ...; ουκ I = A ... | ὑπακούει]ακουει I = A

21,21 a καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ ἐν λίθοις, καὶ ἀποθανεῖται.
I V (Πκγ) $M^P$ (Πμβ)
αὐτοῦ]αυτων $V^W$ = 616* ...

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

21,22 Ἐὰν δὲ γένηται ἔν τινι ἁμαρτία κρίμα θανάτου, καὶ ἀποθάνῃ, καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου.
I K (Αλα)
om. δέ I = V | κρεμάσητε]-σωσιν I | ξύλου] pr. του I = 72 ...

21,23 οὐκ ἐπικοιμηθήσεται τὸ σῶμα αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι κεκατηραμένος ὑπὸ θεοῦ πᾶς κρεμάμενος ἐπὶ ξύλου· καὶ οὐ μιανεῖτε τὴν γῆν, ἣν κύριος ὁ θεός σου δίδωσίν σοι ἐν κλήρῳ.
I K (Αλα)
θάψετε]-ψατε I = 58 ... | αὐτόν]αυτο I = B 16 | κεκατηραμένος] +εστιν I | om. ὑπὸ θεοῦ I | κρεμάμενος] pr. ο I = V ... | οὐ]+μη I = rell | μιανεῖτε]μιαινητε I

22,1 Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου ἢ τὸ πρόβατον αὐτοῦ πλανώμενα ἐν τῇ ὁδῷ ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου.
I K (Αδ) V (Αια) $H^{a}$ (Αι) $L^{c}$ (Αη)
ἰδών]ειδως $V^{W}$ = 799 | om. σου 1° $V^{WEV}$ | om. αὐτοῦ I = n | ἀποστρέψεις]-ψης $KV^{V*}$ = 58 ...

22,2 aba.γc ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ μηδὲ ἐπίστῃ αὐτόν, συνάξεις αὐτὰ μετὰ σοῦ, ἕως ἂν ζητήσῃ ὁ ἀδελφός σου αὐτά, καὶ ἀποδώσεις αὐτῷ.
I K (Αδ) V (Αια) $H^{a}$ (Αι) $L^{c}$ (Αη)
ὁ ἀδελφός 1°] τω αδελφω $V^{Mi}$ | om. πρὸς σέ I | μηδέ]μη $L^{c}$ = oI ... | αὐτόν]αυτων $KV^{WEV}H^{a}L^{c}$ = 52 76 619 | συνάξεις]-ξης K = 18 | σου 2°]σεαυτου I | ζητήσῃ]-σει $V^{V*}$ | ὁ ἀδελφός σου/αὐτά] tr. I = rell | ἀποδώσεις]-δοσης $KV^{W}$; -δως $V^{EV}H^{a}L^{c}$ | αὐτῷ]αυτα $V^{EV}H^{a}L^{c}$ = 71 ...

22,4 Οὐκ ὄψῃ τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν μόσχον αὐτοῦ πεπτωκότας ἐν τῇ ὁδῷ· μὴ ὑπερίδῃς αὐτούς· ἀνιστῶν ἀναστήσεις μετ' αὐτοῦ.
I K (Αδ)
οὐκ]εαν I = 72 ... | om. αὐτοῦ 1° I = 72 | πεπτωκότας]πεπτακοτα I | αὐτούς]αυτα I = rell

22,5 Οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστιν πᾶς ποιῶν ταῦτα.
I K (Ιγ) $V^{WV}$ (Ις) R (Ιβ) $M^{PM}$ (Ιβ) T (Ιβ)
ἐνδύσηται]-σεται $KV^{WV}$ = 54-458 55 | κυρίῳ ../ἐστιν] tr. $KV^{W}M^{PM}T$ = V ... | om. τῷ θεῷ σου $V^{WV}M^{PM}$ = Ambr Spec | ποιῶν] pr. ο $M^{M}$ = C ...


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

22,6 Ἐὰν δὲ συναντήσῃς νοσσιᾷ ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ ἢ ἐπὶ παντὶ δένδρει ἢ ἐπὶ τῆς γῆς, νοσσοῖς ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ τῶν νοσσῶν ἢ ἐπὶ τῶν ᾠῶν, οὐ λήμψῃ τὴν μητέρα μετὰ τῶν τέκνων.

I K (Θζ) V (Θιγ) R (Θιε) $M^{PM}$ (Θιγ)

om. δέ I = 458 $Aeth^{-M}$ | συναντήσῃς]-σεις $M^{M}$; -σῃ K = $129^{c}$; +σοι K = 319 | νοσσιᾷ]νοσσιαν (νοσιαν $V^{V}M^{P}$) $V^{VMi}RM^{PM}$ = $F^{b2}$ ... | νοσσιᾷ ὀρνέων]ορνεα K | om. πρὸ προσώπου σου I = Arab | om. ἐν τῇ ὁδῷ K | om. ἤ 1° $V^{EV}M^{PM}$ = 82 ... | ἐπί 1°]εν $V^{W}R$ = 527 18 | δένδρει]-ρω $VRM^{PM}$ = $B^{c}$ ...; -ρου K | om. ἤ 2° – ᾠοῖς $VRM^{PM}$ | νοσσοῖς]νεοσσοις K = $F^{c}$ ...; pr. η K = 58 ... | om. ἡ $V^{W}M^{M}$ | θάλπῃ]-πει $V^{WEV}M^{PM}$ = oI ... | τῶν νοσσῶν]των νεοσσων $V^{EV}$ = $F^{b}$ ...; τοις νεοσσοις $V^{W}RM^{PM}$ = 376; των ωων K = 106 | ᾠῶν]νεοσσιων K | λήμψῃ]ληψη I = $F^{b}$ ... | om. μετὰ τῶν τέκνων K

22,7 ἀποστολῇ ἀποστελεῖς τὴν μητέρα, τὰ δὲ παιδία λήμψῃ σεαυτῷ, ἵνα εὖ σοι γένηται καὶ πολυήμερος ἔσῃ.

I K (Θζ) $V^{WV}$ (Θιγ) R (Θιε) $M^{PM}$ (Θιγ)

om. init. – μητέρα K: μητέρα V. 6 praec. ⌒ V. 7 | ἀποστολῇ]-στελη $M^{M}$ | λήμψῃ]ληψη I = $F^{b}$ ... | σεαυτῷ]εαυτω $V^{WV}RM^{PM}$ | ἔσῃ]ης K = $^{Lat}$cod 104

22,11 οὐκ ἐνδύσῃ κίβδηλον, ἔρια καὶ λίνον, ἐν τῷ αὐτῷ.

I K (Ιγ) $V^{WV}$ (Ις) $M^{PM}$ (Ιβ) T (Ιβ)

ἔρια]εριαν $M^{M}$ | om. καί $V^{W}$ | λίνον]λινουν $M^{M}$ = 130 ... | ἐν τῷ αὐτῷ]επι το αυτο $KV^{W}M^{PM}$ = A ...

22,13 abα Ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ.

I V (Πια) $M^{P}$ (Πλδ)

om. δέ I = 82 $z^{-630^{c}}$ | συνοικήσῃ]-σει $V^{WEV}$ = 58 ...

22,14 καὶ ἐπιθῇ αὐτῇ προφασιστικοὺς λόγους καὶ κατενέγκῃ αὐτῆς ὄνομα πονηρὸν καὶ λέγῃ Τὴν γυναῖκα ταύτην εἴληφα καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῆς παρθένια.

I V (Πια) $M^{P}$ (Πλδ)

ἐπιθῇ]επιθηται $V^{EV}$ = 106 ... | om. αὐτῇ $V^{EV}$ = $d^{-106}$ $Arm^{te}$ | λέγῃ] λεγει $V^{WEV}M^{P}$ | παρθένια]-νεια $M^{P}$; -νιαν $V^{WEV}$

22,15 καὶ λαβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ ἐξοίσουσιν τὰ παρθένια τῆς παιδὸς πρὸς τὴν γερουσίαν ἐπὶ τὴν πύλην.

I V (Πια) $M^{P}$ (Πλδ)

παιδός 2°] γυναικος I = n | om. ἐπὶ τὴν πύλην I

22,18 καὶ λήμψονται ἡ γερουσία τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον καὶ παιδεύσουσιν αυτόν.

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

I V (Πια) $M^P$ (Πλδ)
om. καί 1° I: init. | λήμψονται]ληψ. I = d t | om. ἡ γερουσία τῆς πόλεως ἐκείνης I = $d^{-106}$ | om. ἐκεῖνον I = 58 55 | om. αὐτόν I = 319

22,19 καὶ ζημιώσουσιν αὐτὸν ἕκατον σίκλους καὶ δώσουσιν τῷ πατρὶ τῆς νεάνιδος, ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον Ἰσραηλῖτιν· καὶ αὐτοῦ ἔσται γυνή, οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.
I V (Πια) $M^P$ (Πλδ)
ἅπαντα]παντα I = oI

22,20 b καὶ μὴ εὑρεθῇ παρθένια τῇ νεάνιδι.
I V (Πια) $M^P$ (Πλδ)
καί]εαν δε I

22,21 abα καὶ ἐξάξουσιν τὴν νεᾶνιν ἐπὶ τὰς θύρας τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν αὐτὴν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς ἐν λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην.
I V (Πια) $M^P$ (Πλδ)
om. καί 1° I = 72 ... | ἐξάξουσιν]-οισουσιν I | τὴν νεᾶνιν]αυτην I = $d^{-106}$ Bo | om. αὐτῆς 2° I = b ... | om. ἐν λίθοις I = 848 ...

22,22 a.c (a) Ἐὰν δὲ εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνῳκισμένης ἀνδρί, ἀποκτενεῖτε ἀμφοτέρους,
(c) καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ.
I V (Πια) R (Πλη) $M^P$ (Πλδ)
om. δέ I: init. | ἐξαρεῖς]εξαρειται $V^V$ = 53; εξερειτε $V^W M^P$; εξερειται $V^E$R | τόν]το VR = 58 ...

22,23 Ἐὰν δὲ γένηται παῖς παρθένος μεμνηστευμένη ἀνδρί, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει κοιμηθῇ μετ' αὐτῆς.
I V (Πια) $M^P$ (Πλδ)
om. δέ I: init. | om. καί $V^{WV} M^P$ = $^{Lat}$cod 100 | εὑρών]ευρη $V^W$ | κοιμηθῇ] pr. και $V^{WE}$ = 458 $^{Lat}$Hi Arm

22,24 ab ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις καὶ ἀποθανοῦνται· τὴν νεᾶνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει, καὶ τὸν ἄνθρωπον, ὅτι εταπείνωσεν τὴν γυναῖκα τοῦ πλησίον.
I V (Πια) $M^P$ (Πλδ)
αὐτῶν]εκεινης I = V ... | λιθοβοληθήσονται]-βολησουσιν I = $W^I$ 318 $Arm^{te}$ | ἐν 1°] pr. αμφοτερους I = $W^I$ | τὴν νεᾶνιν]η νεανις I = n ... | ὅτι 1°] διοτι I = Or | τὸν ἄνθρωπον]ο ανθρωπος I = n | ὅτι 2°] διοτι I = Or


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

22,25 ἐὰν δὲ ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμήνην καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε τὸν ἄνρθωπον τὸν κοιμώμενον μετ' αὐτῆς μόνον.
I V (Πια) $M^{P}$ (Πλδ)
πεδίῳ] pr. τω I = V ... | πεδίῳ]παιδι $V^{V}M^{P}$ | εὕρῃ/ἄνθρωπος] tr. $V^{W}$ = 125 | τήν 1°] pr. διοτι $V^{V}$

22,26 καὶ τῇ νεάνιδι οὐ ποιήσετε οὐδέν· οὐκ ἔστιν τῇ νεάνιδι ἁμάρτημα θανάτου, ὅτι ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον καὶ φονεύσῃ αὐτοῦ ψυχήν, οὕτως τὸ πρᾶγμα τοῦτο.
I V (Πια) $M^{P}$ (Πλδ)
τῇ νεάνιδι]την νεανιδα $V^{EV}$ = 376 ... | οὐ]+μη $V^{EV}$ | ποιήσετε]-σεται $V^{EV}$ = A ...; -σητε $V^{Mi}M^{P}$ = 72 ... | τῇ νεάνιδι/ἁμάρτημα] tr. I | ἐπαναστῇ]-σταιη $V^{EV}$ = $f^{-129}$ | φονεύσῃ]-σει $V^{WEV}$ = oI ...; -σαι $M^{P}$ = $W^{I}$ | ψυχήν] pr. την I = 15 ... | τό] pr. και $V^{EV}$ = b 246

22,27 ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτήν, ἐβόησεν ἡ νεᾶνις ἡ μεμνηστευμένη, καὶ ὁ βοηθήσων οὐκ ἦν αὐτῇ.
I V (Πια) $M^{P}$ (Πλδ)
om. ἡ μεμνηστευμένη I = Phil | βοηθήσων]βοηθων I = A ... | οὐκ ἦν/αὐτῇ] tr. I = 73′ ...

23,2 (3) οὐκ εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν κυρίου.
I V (Πια) R (Πλη) $M^{P}$ (Πλδ)
εἰσελεύσεται]ελ. $V^{Mi}$ | κυρίου]θεου $M^{P}$ = $^{Lat}$cod 104 Arm

23,9 (10) Ἐὰν δὲ ἐξέλθῃς παρεμβαλεῖν ἐπὶ τοὺς ἐχθρούς σου, φυλάξῃ ἀπὸ παντὸς ῥήματος πονηροῦ.
I R (Πια)
om. δέ I: init. | φυλάξῃ]-ξαι I

23,15 (16) Οὐ παραδώσεις παῖδα τῷ κυρίῳ, ὃς προστέθειταί σοι παρὰ τοῦ κυρίου αὐτοῦ.
I $M^{PM}$ (Ξα)
κυρίῳ]+αυτου I = rell | ὅς]ως $M^{M}$ | προστέθειται]-τεθησηται $M^{P}$ = V; προσθησεται $M^{M}$ | τοῦ κυρίου]τω κυριω I

23,16 (17) μετὰ σοῦ κατοικήσει, ἐν ὑμῖν κατοικήσει ἐν παντὶ τόπῳ, οὗ ἂν ἀρέσῃ αὐτῷ, οὐ θλίψεις αὐτόν.
I $M^{PM}$ (Ξα)
κατοικήσει 1°]-οικιει $M^{M}$ | om. κατοικήσει 2° I = $b^{-19}$ $d^{-106}$ | τόπῳ] +ουκ (ου εαν $M^{M}$) εκλεξηται εν μια των πολεων σου (om. $M^{M}$) I: cf. O ... | ἄν]εαν $M^{P}$ = rell; om. $M^{M}$ = A 131 55 | ἀρέσῃ]-σει $M^{M}$ = 376 264 30 | αὐτῷ]αυτον $M^{M}$ = 72-417

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

23,18 (19) οὐ προσοίσεις μίσθωμα πόρνης οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου πρὸς πᾶσαν εὐχήν, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σού ἐστιν καὶ ἀμφότερα.
I R (Ακζ) H$^{c}$ (Ακδ) T (Ακς) L$^{a}$ (Ακη) II R (Πε) M$^{P}$ (Πε)
οὐ]μη L$^{a}$ | οὐδὲ ἄλλαγμα κυνός] tr. II post σου 1$^{o}$ | οὐδέ]ουτε II | ἄλλαγμα]υλλ. R (I) L$^{a}$ | om. κυνός R (I) L$^{a}$ | om. πρὸς πᾶσαν εὐχήν II | εὐχήν]+σου I = 82$^{c\ pr\ m}$ ... | om. ἐστιν I II = 54–75′

23,19 (20) Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου καὶ τόκον βρωμάτων καὶ τόκον παντὸς πράγματος, οὗ ἂν ἐκδανείσῃς.
I V (Δθ) R (Δμγ) M$^{PM}$ (Δλ) H$^{a}$ (Δθ) T (Δμβ) Ant.$^{Mi}$ (IIκε)
om. τόκον ἀργυρίου καί I: τόκον 1$^{o}$ ⌒ 2$^{o}$ | ἄν]εαν I = rell | ἐκδανείσῃς]εισδ. M$^{M}$; -δανισης Ant.$^{Mi}$; -δανειης R; -δανισεις M$^{P}$; +τω αδελφω σου I = M ...

23,21 (22) Ἐὰν δὲ εὔξῃ εὐχὴν κυρίῳ τῷ θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν, ὅτι ἐκζητῶν ἐκζητήσει κύριος ὁ θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.
I C (Υα) V (Υι) R (Υιθ)
om. δέ I = 76′ ... | ἐκζητῶν] pr. ο V$^{V}$R | ἐκζητήσει]-ζητει V$^{EV}$ = 75

23,23 (24) τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φυλάξῃ, καὶ ποιήσεις ὃν τρόπον ηὔξω κυρίῳ τῷ θεῷ σου δόμα, ὃ ἐλάλησας τῷ στόματί σου.
I C (Υα) V (Υι) R (Υιθ)
φυλάξῃ]-ξαι V; -ξον CR | ποιήσεις]-σον V$^{EV}$ | om. ὅν V$^{EV}$ | ηὔξω]ευξω V$^{WEV}$ = B | om. κυρίῳ I = B ... | om. δόμα I

24,5 (a) Ἐὰν δέ τις λάβῃ γυναῖκα προσφάτως, οὐκ ἐξελεύσεται εἰς τὸν πόλεμον,
(b) καὶ οὐκ ἐπιβληθήσεται αὐτῷ οὐδὲν πρᾶγμα· ἀθῷος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐνιαυτὸν ἕνα·
(c) εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ, ἣν ἔλαβεν.
I a–c: V (Νδ) R (Νζ) M$^{PM}$ (Νδ) L$^{c}$ (Νβ) II a: K (Πιε)
om. δέ I II: init. | τις/λάβῃ] tr. I = Or$^{-426}$ Arm Syh | om. τόν V$^{EV}$ = A ... | αὐτῷ]επ αυτω VRM$^{P}$L$^{c}$ = 630*; επ αυτον M$^{M}$ | αὐτῷ/οὐδὲν πρᾶγμα] tr. (επ αυτω) I | οἰκίᾳ]οικεια M$^{PM}$ = 458 ... | αὐτοῦ 1$^{o}$]+καθισει VM$^{M}$L$^{c}$; +καθησει R; +καθιση M$^{P}$ | εὐφρανεῖ] pr. και I = $^{Lat}$cod 100 Arm | ἔλαβεν]-βον M$^{P}$

24,6 Οὐκ ἐνεχυράσεις μύλον οὐδὲ ἐπιμύλιον, ὅτι ψυχὴν οὗτος ἐνεχυράζει.
I T (Εμγ)
ἐνεχυράσεις]-ριασεις I = 58 ... | οὗτος]αυτος I = 319 | ἐνεχυράζει] -ριαζει I = 58 ...



Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

24,7 aα.γ (aα) Ἐὰν δὲ ἁλῷ ἄνρθωπος κλέπτων ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ἰσραήλ,
(aγ) ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος.
I V (Κε) $M^{PM}$ (Κζ)
om. δέ I = Arm | om. τῶν υἱῶν Ἰσραήλ I

24,10 Ἐὰν δὲ ὀφείλημα ᾖ ἐν τῷ πλησίον, ὀφείλημα ὁτιοῦν τι, οὐκ εἰσελεύσῃ εἰς τὴν οἰκίαν αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον.
I V (Δϑ) R (Δμγ) $M^{PM}$ (Δλ) $H^{a}$ (Δϑ) T (Δμβ) II T (Εμγ)
om. δέ I II = A … | πλησίον]+σου I II = rell | om. ὀφείλημα 2° I II = 72 … | om. τι I II = B … | εἰσελεύσῃ]-σει $V^{EV}M^{M}$ | ἐνεχυράσαι] -ριασαι II = 129 509; -χειρασαι $V^{V}$ | ἐνέχυρον]+αυτου II = B …

24,11 ἔξω στήσῃ, καὶ ὁ ἄνρθωπος, οὗ τὸ δάνειόν σού ἐστιν ἐν αὐτῷ, ἐξοίσει σοι τὸ ἐνέχυρον ἔξω.
I V (Δϑ) R (Δμγ) $M^{PM}$ (Δλ) $H^{a}$ (Δϑ) T (Δμβ) II T (Εμγ)
ἄνθρωπος]+ουτος $V^{WV}M^{M}$ | οὗ τό] om. $V^{V}$ | δάνειον]δανιον $V^{EV}$; δανιειον $M^{P}$ | om. ἐν αὐτῷ I = $^{Lat}$Ambr Aug Arm | τό 2°] τον $V^{W}RM^{P}H^{a}T$ (I) = 343′

24,12 ἐὰν δὲ ὁ ἄνθρωπος πένηται, οὐ κοιμηθήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ.
I V (Δϑ) R (Δμγ) $M^{PM}$ (Δλ) $H^{a}$ (Δϑ) T (Δμβ) II T (Εμγ)
πένηται]πειν. $V^{Mi}$; παινεται $V^{WE}$; πεινεται $M^{P}$ | κοιμηθήσῃ]-θησεται II = 16–528 Arm | τῷ ἐνεχύρῳ]το ενεχυρον II | αὐτοῦ]+παρα σοι II

24,13 ἀποδόσει ἀποδώσεις τὸ ἐνέχυρον αὐτοῦ περὶ δυσμὰς ἡλίου, καὶ κοιμηθήσεται ἐν τῷ ἱματίῳ αὐτοῦ καὶ εὐλογήσει σε, καὶ ἔσται σοι ἐλεημοσύνη ἐναντίον κυρίου τοῦ θεοῦ σου.
I V (Δϑ) R (Δμγ) $M^{PM}$ (Δλ) $H^{a}$ (Δϑ) T (Δμβ) II T (Εμγ)
om. ἀποδόσει I II = 381 … | ἀποδώσεις]+αυτω II = F … | ἐνέχυρον] ιματιον II = rell | om. αὐτοῦ 1° I (sine $V^{V}$) = 376$^{c}$ … | περί]επι T (I) | αὐτοῦ 2°] αυτον $M^{M}$ | καί 2° ⌒ 3° II | εὐλογήσει]-σῃ T (I) = 618 … | ἔσται/σοι] tr. $VRM^{M}$; σου εσται $H^{a}T$ (I); συ εσται II $M^{P}$ | ἐλεημοσύνη]-νην II | ἐναντίον]εναντι II $V^{W}RM^{PM}$ T = rell | om. τοῦ II

24,14 (a) Οὐκ ἀπαδικήσεις μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου
(bα) ἢ ἐκ τῶν προσηλύτων
(bβ) τῶν ἐν ταῖς πόλεσίν σου.
I ab: R (Εμϑ) Ant.$^{Mi}$ (Ικϑ); abα: V (Μιγ) $M^{PM}$ (Μι)

24,15 (a) αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ, οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ᾽ αὐτῷ, ὅτι πένης ἐστὶν καὶ ἐν αὐτῷ ἔχει τὴν ἐλπίδα.

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

(b) καὶ οὐ καταβοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.
I ab: V (Μιγ) $M^{PM}$ (Μι); a: R (Εμθ) Ant.$^{MiM}$ (ΙΙκθ)
αὐτοῦ]τω μισθωτω σου Ant.$^{M}$ | ἐπιδύσεται]-σηται $V^{E}$ | ἐν 1°] επ I = rell | om. ἐν 2° $V^{EV}$ = M ...

24,16 Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται.
I K (Εθ) V (Ελ) $M^{PM}$ (Εκη) $H^{a}$ (Εκζ) T (Εκη)
καί]ουτε $KVM^{P}H^{a}T$ = Chr Cyr Tht; ουδε $M^{M}$ = Gie ... | om. οὐκ ἀποθανοῦνται 2° I = 528 | om. ἐν I = rell | ἀποθανεῖται]-νετω T

24,17 (a) Οὐκ ἐκκλινεῖς κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας,
(b) καὶ οὐκ ἐνεχυράσεις ἱμάτιον χήρας.
I ab: V (Διη) R (Δλε) $M^{PM}$ (Δκγ) $H^{a}$ (Διη) T (Δλε) Ant.$^{Mi}$ (ΙΙζ) II b: K (Οα) $V^{WV}$ (Οβ)
ἐκκλινεῖς]-νης $M^{P}T$ | κρίσιν]προσωπον $V^{WEV}RM^{PM}H^{a}T$ | om. καί 3° II = V ... | ἐνεχυράσεις]-χυριασεις II $V^{WV^{c}}RM^{PM}H^{a}T$Ant.$^{Mi}$ = 58 ...; -χειριασεις $V^{V*}$; -χυριασης $V^{W}$ = $664^{c}$ Gie

25,11 Ἐὰν δὲ μάχωνται ἄνθρωποι ἐπὶ τὸ αὐτό, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος αὐτόν, καὶ ἐκτείνασα τὴν χεῖρα ἐπιλάβηται τῶν διδύμων αὐτοῦ.
I R (Με)
om. δέ I = 730 ] ἄνθρωποι] pr. δυο I = M ... | προσέλθῃ]-θουσα I = O ... | om. ἡ I = B ... | αὐτῶν] pr. εξ I = 52′ | χεῖρα]+αυτης I = O ...

25,12 ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῇ.
I R (Με)
αὐτῇ]αυτην I = O-15

25,13 Οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν.
I V (Ζγ) R (Ζς) $M^{PM}$ (Ζγ) T (Ζγ) Ant.$^{Mi}$ (ΙΙνα)
μαρσίππῳ]-σιπω $V^{WEV}$ Ant.$^{Mi}$ | om. καὶ στάθμιον 2° I = 72 ... | μέγα .../μικρόν] tr. Ant.$^{Mi}$ | ἤ]και RAnt.$^{Mi}$ = $F^{b}$ ...

25,14 οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν.
I V (Ζγ) R (Ζς) $M^{PM}$ (Ζγ) T (Ζγ) Ant.$^{MiM}$ (ΙΙνα)
init.] pr. και $VM^{PM}T$ = 72 ... | οὐκ]μη Ant.$^{M}$ | οἰκίᾳ]οικεια $M^{P}$ = 468-767 319 | om. μέτρον 1° $V^{Mi}$ | om. καὶ μέτρον I = 72 ... | ἤ]και RAnt.$^{MiM}$ = rell



Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

25,15 (a) στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι,
(bα) ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς,
(bβ) ἧς κύριος ὁ θεός σου δίδωσίν σοι ἐν κλήρῳ.
I ab: V (Ζγ) R (Ζς) $M^{PM}$ (Ζγ); abα: $Ant.^{MiM}$ (ΙΙνα)
init.] pr. αλλα $Ant.^{M}$ | om. καί 1° $RAnt.^{GeM}$ = 83 Cyr | ἔσται 1°] εστω $V^{Mi}Ant.^{M}$ = 72 53 | σοι 1° ⌒ 2° I = $B^{txt}$ ... | om. σου $V^{W}$ = 58 ...

25,16 a ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν ταῦτα.
I V (Ζγ) R (Ζς) $M^{PM}$ (Ζγ) T (Ζγ)
κυρίῳ]+τω θεω σου I = rell | ποιῶν] pr. ο $V^{W}M^{PM}T$ = 376 16 407 | ταῦτα]αυτα $M^{M}$ = 552

27,9 aβ Σιώπα καὶ ἄκουε, Ἰσραήλ.
I R (Αλζ) T (Αλζ)
tr. καὶ ἄκουε post Ἰσραήλ I = 376 Nil | Ἰσραήλ] Ιερουσαλημ R

27,16 (a) Ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ·
(b) καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I ab: V (Πκγ) R (Πμς) $M^{P}$ (Πμβ) $Ant.^{Mi}$ (ΙΙιβ); a: $Ant.^{M}$ (ΙΙιβ)
ὁ 1°] pr. πας $RAnt.^{MiM}$ = 58 ... | ἢ μητέρα αὐτοῦ]η την μητερα αυτου $V^{W}$ = 392; om. $V^{EV}$: αὐτοῦ 1° ⌒ 2° | ἐροῦσιν]ερει $VRM^{P}Ant.^{Mi}$ = b ... | Γένοιτο]+γενοιτο $VRM^{P}$ $Ant.^{Mi}$ = A ...

27,17 Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον· καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I K (Οβ) $V^{WV}$ (Ογ) R (Ος) $L^{c}$ (Οιβ)
ἐροῦσιν]ερει I = 72 ... | Γένοιτο]+γενοιτο I = 72 ...

27,18 Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ· καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I $V^{W}$ (Τε) R (Τε) $M^{P}$ (Τδ)
ἐροῦσιν]ερει I = 72 ...

27,19 (a) Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας·
(b) καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I ab: $V^{EV}$ (Διη) $H^{a}$ (Διη); a: $Ant.^{MiL}$ (ΙΙη)
ὅς] pr. πας I = F | ἄν]εαν $V^{EV}H^{a}$ = d ...; om. $Ant.^{L}$ = 53 ... | ἐκκλίνῃ]-νει $V^{EV}Ant.^{L}$ = 53′ | ἐροῦσιν]ερει $V^{EV}H^{a}$ = V ...

27,23 Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ πενθερᾶς αὐτοῦ· καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

I V (Πια) $M^{P}$ (Πλδ)
ἐροῦσιν]ερει I = V … | Γένοιτο]+γενοιτο $V^{EV}$ = 72 767 $^{Lat}$PsAmbr

27,24 a Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ.
I $H^{c}$ (Εκγ) T (Εμ)
πλησίον]αδελφον I; +αυτου I = B …

27,25 Ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀθῴου· καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I V (Διη) R (Δλε) $M^{PM}$ (Δκγ) $H^{a}$ (Διη) T (Δλε)
ἄν]εαν I = 54-75′ | πατάξαι]και παταξη (-ξει $V^{EV}M^{P}$; -ξι $M^{M}$) I | ψυχήν]ψυχη $M^{M}$ | ἐροῦσιν]ερει I = V … | Γένοιτο]+γενοιτο $V^{W}M^{M}$ = 72 …

27,26 Ἐπικατάρατος πᾶς ἄνθρωπος, ὅστις οὐκ ἐμμενεῖ ἐν πᾶσιν τοῖς λόγοις τοῦ νόμου τούτου ποιῆσαι αὐτούς· καὶ ἐροῦσιν πᾶς ὁ λαός Γένοιτο.
I V (Εβ) $M^{PM}$ (Εβ) $H^{a}$ (Εβ) T (Εβ)
om. πᾶς I = 72 … | ὅστις]ος I = B … | ἐμμενεῖ]εμμένει I | om. τούτου I = 16 127 799* | ποιῆσαι] pr. του I = b … | ἐροῦσιν]ερει I = V … | Γένοιτο]+γενοιτο $V^{W}M^{PM}$T = 72 …

28,2 b ἐὰν ἀκούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου.
I V (Εα) $M^{PM}$ (Εα) $H^{a}$ (Εα) T (Εα)
ἐάν]+ακοη I = rell | ἀκούσῃς]-ση $VH^{a}$ = 320 …; -σητε $M^{PM}$ | om. τοῦ θεοῦ σου I

28,3 b καὶ εὐλογημένος σὺ ἐν ἀγρῷ.
I V (Εα) $M^{PM}$ (Εα) $H^{a}$ (Εα) T (Εα)
om. καί I = 72 … | σύ]σοι $V^{W}$

28,5 εὐλογημέναι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου.
I V (Εα) $M^{PM}$ (Εα) $H^{a}$ (Εα) T (Εα)
init.] pr. και I | εὐλογημέναι αἱ ἀποθῆκαι]ευλογημενη η αποθηκη I | ἐγκαταλείμματα]-λιμμ. $V^{EV}M^{PM}$; -ληματα T; -λειματα $H^{a}$

28,6 (a) εὐλογημένος σὺ ἐν τῷ εἰσπορεύεσθαί σε,
(b) καὶ εὐλογημένος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.
I ab: $V^{WE}$ (Εα) $M^{PM}$ (Εα) $H^{a}$ (Εα) T (Εα); a: $V^{V}$ (Εα)
σύ 1°] σοι $V^{W}$T | om. εὐλογημένος 2° I (sine $V^{V}$) = 72 … | om. σύ 2° I (sine $V^{V}$) = 848 | om. ἐν τῷ 2° $V^{E}M^{PM}H^{a}$T | ἐκπορεύεσθαι]εμπορ. T

28,8 aaba (aa) ἀποστείλαι κύριος ἐπὶ σὲ τὴν εὐλογίαν,
(ba) οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου.


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

I V (Eα) $M^{PM}$ (Eα) $H^{a}$ (Eα) T (Eα)
ἀποστεῖλαι]-στελει $V^{W}M^{PM}$ = 958 ...; -στειλη $V^{Mi}$ = 615*; -στηλει $V^{EV}$; -στειλει $H^{a}$ | om. εὐλογίαν – τήν 2° $H^{a}$: τήν 1° ⌒ 2° | οὗ]σου T | ἄν]εαν $VM^{M}T$ = rell | ἐπιβάλῃς]-βαλλεις $V^{EV}$ = 848 ...; -βαλεις $M^{P}$ = 407; -βαλει $M^{M}$

28,12 bα–dα (bα) δοῦναι τὸν ὑετὸν τῇ γῇ σου ἐπὶ καιροῦ αὐτοῦ
(bβ) εὐλογῆσαι πάντα τὰ ἔργα τῶν χειρῶν σου,
(c) καὶ δανιεῖς ἔθνεσιν πολλοῖς, σὺ δὲ οὐ δανιῇ,
(dα) καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν.
I V (Eα) $M^{PM}$ (Eα) $H^{a}$ (Eα) T (Eα)
12 bβ–dα.13 a.12 bα: sic I | δοῦναι]και δωσει I | τῇ γῇ] της γης I = rell | om. σου 1° $V^{W}$ | ἐπί]εως $V^{WEMi}H^{a}$ | om. αὐτοῦ I = B ... | εὐλογῆσαι] pr. και I; ευλογησει (-ση $M^{M}$) I = Luc Bo | δανιεῖς]δανειεις $V^{WE}H^{a}$; δανεισεις $M^{P}T$ = 120 ... | δανιῇ]δανιει $M^{PM}T$; δανειη $H^{a}$; δανεει $V^{V}$; δανειει $V^{WE}$ | om. σύ I = $B^{mg}$ ...

28,13 a καταστῆσαι σε κύριος ὁ θεός σου εἰς κεφαλὴν καὶ μὴ εἰς οὐράν.
I V (Eα) $M^{PM}$ (Eα) $H^{a}$ (Eα) T (Eα)
init.] pr. και I = 376 ... | καταστῆσαι]-στησει (-γησει $V^{V}$) I = 318 | om. ὁ θεός σου I = 58 ...

28,16 (a) ἐπικατάρατος σὺ ἐν πόλει,
(b) καὶ ἐπικατάρατος σὺ ἐν ἀγρῷ.
I ab: V (Eβ) $M^{P}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ); a: $M^{M}$ (Eβ)
πόλει] pr. τη I = 52

28,17 ἐπικατάρατοι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου.
I V (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
ἐπικατάρατοι]-τος I = V* 127*; +συ $V^{EV}M^{P}H^{a}T$ = 767*; +σοι $V^{W}$ | αἱ ἀποθῆκαι]εν ταις αποθηκαις I | ἐγκαταλείμματα]-λημμ. $V^{V}M^{PM}$; -λήματα $V^{E}T$ | om. σου 2° $V^{Mi}$

28,18 ἐπικατάρατα τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὰ γενήματα τῆς γῆς σου, τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου.
I V (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
ἔκγονα]εγγονα $V^{Mi}$ = 923 ...; εγκονα $V^{V}M^{M}$ = 44 | γενήματα]γενν. $V^{WE}M^{P}H^{a}T$ = 376 ...

28,19 (aα) ἐπικατάρατος σὺ
(aβb) ἐν τῷ εἰσπορεύεσθαί σε, καὶ ἐπικατάρατος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

I ab: $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ); aα: $V^{W}$ (Eβ)
σύ 1°] σοι $V^{E}$ | om. σε 1° $V^{V}$ = 125 $^{Lat}$cod 104 Arm | om. σε 2° $V^{EV}H^{a}$ = 72 ...

28,20 aba.da (a) ἐξαποστείλαι κύριός σοι τὴν ἔνδειαν καὶ τὴν ἐκλιμίαν καὶ τὴν ἀνάλωσιν ἐπὶ πάντα,
(ba) οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου,
(da) διὰ τὰ πονηρὰ ἐπιτηδεύματά σου,
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
ἐξαποστείλαι]-στελει I = 426 | κύριός/σοι] tr. $V^{EV}M^{PM}H^{a}$ = V ... | ἐκλιμίαν]εκδημ. (-διμ. $M^{PM}$) $M^{PM}T$ = F ... | ἄν]εαν I = rell | ἐπιβάλῃς]-λλης $H^{a}$ = 46; -λλεις $V^{E}$ = 767; -λεις $M^{P}T$

28,22 ab πατάξαι σε κύριος ἀπορίᾳ καὶ πυρετῷ καὶ ῥίγει καὶ ἐρεθισμῷ καὶ φόνῳ καὶ ἀνεμοφθορίᾳ.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
πατάξαι]-ξει I = 82 ... | ῥίγει]ρηγει $M^{P}T$; ρηγη $M^{M}$; ρειγει $V^{E}$ | ἐρεθισμῷ]-θεισμω $M^{M}$; -θησμω T | φόνῳ] φθονω T = 318 646

28,23 καὶ ἔσται σοι ὁ οὐρανὸς ὁ ὑπὲρ κεφαλῆς σου χαλκοῦς καὶ ἡ γῆ ἡ ὑποκάτω σου σιδηρᾶ.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)

28,24 a δώῃ κύριος τὸν ὑετὸν τῇ γῇ σου κονιορτόν.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ)
δώῃ]δω I = 72 | τῇ γῇ]της γης I = $F^{b}$ ...

28,25 c καὶ ἔσῃ ἐν διασπορᾷ ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
om. ἐν 2° $M^{PM}T$ = F ... | πάσαις]πασης $M^{M}$ | ταῖς βασιλείαις]της βασιλειας $M^{M}$ = 527

28,28 πατάξαι σε κύριος παραπληξίᾳ καὶ ἀορασίᾳ καὶ ἐκστάσει διανοίας.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
πατάξαι]-ξει $V^{V}M^{PM}H^{a}T$ = 343 ...; -ξη $V^{E}$ | om. καί 1° I = B ... | om. καί 2° I = 963 ...

28,29 καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας, ὡσεὶ ψηλαφήσαι ὁ τυφλὸς ἐν τῷ σκότει, καὶ οὐκ εὐοδώσει τὰς ὁδούς σου· καὶ ἔσῃ τότε ἀδικούμενος καὶ διαρπαζόμενος πάσας τὰς ἡμέρας, καὶ οὐκ ἔσται σοι ὁ βοηθῶν.
I $V^{EV}$ (Eβ) $M^{PM}$ (Eβ) $H^{a}$ (Eβ) T (Eβ)
ὡσεί]ως I = 54 ... | ψηλαφήσαι]-σει I = 58 72 59 | om. τότε I = 72 Aeth Bo | διαρπαζόμενος]αρπ. I = $z^{-83}$ $630^{c}$ | om. πάσας I | om. τὰς ἡμέρας I = $^{Lat}$cod 100 | om. ὁ 2° I = V 15 407


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

28,30 ab γυναῖκα λήμψῃ, καὶ ἀνὴρ ἕτερος ἕξει αὐτήν· οἰκίαν οἰκοδομήσεις καὶ οὐκ οἰκήσεις ἐν αὐτῇ.
I $V^{EV}$ (Εβ) $M^{PM}$ (Εβ) $H^a$ (Εβ) T (Εβ)
λήμψῃ]ληψη I = $F^b$ ... | ἕξει]λημψεται $V^{EV}M^{M}H^a$ = 82 ...; ληψη $M^P$ = 313-615 122*; λαβη T = Tht | οἰκοδομήσεις]-σης $V^E$ = 664 458 | om. ἐν αὐτῇ I

28,62 bβ ὅτι οὐκ εἰσηκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.
I K (Αια)
εἰσηκούσατε]ηκ. I = b | om. τοῦ θεοῦ ὑμῶν I

28,63 ab καὶ ἔσται ὃν τρόπον εὐφράνθη κύριος ἐφ' ὑμῖν εὖ ποιῆσαι ὑμᾶς καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφρανθήσεται κύριος ἐφ' ὑμῖν ἐξολεθρεῦσαι ὑμᾶς.
I K (Αι) $V^{EV}$ (Αιβ) $M^M$ (Αμδ) T (Αξς)
om. καί 1° K | εὐφράνθη]ηυφρ. $V^{EV}T$ = A ... | ἐφ' 1°] εν $V^{EV}M^{M}T$ = 15 ... | om. ἐφ' ὑμῖν 1° K | εὖ] pr. του $V^{V}T$ = 58: om. K = 18; τουτο $M^M$ | om. καὶ πληθῦναι ὑμᾶς I: ὑμᾶς 1° ⌒ 2° = B 602 | ἐξολεθρεῦσαι]εξολοθρ. I = rell

29,18(17)c μὴ τίς ἐστιν ἐν ὑμῖν ῥίζα ἄνω φύουσα ἐν χολῇ καὶ πικρίᾳ;
I R (Νς)
om. ἐστιν I = b | om. ἐν ὑμῖν I = 30 407 | ῥίζα]+πικριας I = A ... | ἐν χολῇ]ενοχλη I = A ... | om. καί I = 16 392 | om. πικρίᾳ I = Hebr 12,15 | fin.] +και δι αυτης μιανθωσι πολλοι I = Hebr 12,15

29,19(18)bβ ἵνα μὴ συναπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον.
I K (Αι) Iv (δ) V (Αιβ) R (Πκζ) $M^{PM}$ (Αμδ) $H^a$ (Αια) T (Αξς) $A^{VA}$ (ζ) $Ant.^{Mi}$ (ΙΙλβ) $Ant.^{MiL}$ (ΙΙϛδ) II R (Κιζ)
συναπολέσῃ]απολ. I II | om. ὁ $VH^a$

29,20(19)a (αα) οὐ μὴ θελήσῃ ὁ θεὸς εὐιλατεῦσαι αὐτῷ,
(αβ) ἀλλ' ἢ τότε ἐκκαυθήσεται ὀργὴ κυρίου καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ.
I K (Αι) Iv (δ) V (Αιβ) R (Πκζ) $M^{PM}$ (Αμδ) $H^a$ (Αια) T (Αξς) $A^{VA}$ (ζ) $Ant.^{Mi}$ (ΙΙλβ) $Ant.^{MiL}$ (ΙΙϛδ) II αα: R (Κιζ)
θελήσῃ]-σει $KIvV^{V*}M^{P}H^{a}Ant.^{Mi}$ (ΙΙλβ) $Ant.^{L}$ (ΙΙϛδ) | εὐιλατεῦσαι] -τησαι $IvA^{VA}Ant.^{Ge}$ (ΙΙλβ) $Ant.^{GeL}$ (ΙΙϛδ) = 509; ιλασθηναι $Ant.^{Mi}$ (ΙΙλβ; ΙΙϛδ) | αὐτῷ]εαυτω $A^V$; αυτον $IvAnt.^L$ = 53' | ἐκκαυθήσεται] καυθ. $Ant.^L$ | ὀργή]οργηι $A^V$; pr. η $V^{WE}$ = $M^{mg}$ ... | om. ὁ 2° $Ant.^L$ = 707

29,29(28) (a) τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ ἡμῶν, τὰ δὲ φανερὰ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν εἰς τὸν αἰῶνα,

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

(b) ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.
I a: R (Αιζ) $H^c$ (Αιε) T (Αιζ) $L^a$ (Αιη) $L^c$ (Ακα) II ab: C (Πγ) V (Πζ) R (Πλς) $M^P$ (Πλα)
ἡμῖν]υμιν $CV^{WE}R$ (II) $M^P$ = B ... | ἡμῶν 2°] υμων $CV^{WE}R$ (II) $M^P$ = B ... | om. εἰς τὸν αἰῶνα I: fin. | om. πάντα C

30,1 Καὶ ἔσται ὡς ἂν ἔλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα ταῦτα, ἡ εὐλογία καὶ ἡ κατάρα, ἣν ἔδωκα πρὸ προσώπου σου, καὶ δέξῃ εἰς τὴν καρδίαν σου ἐν πᾶσιν τοῖς ἔθνεσιν, οὗ ἄν σε διασκορπίσῃ κύριος ἐκεῖ.
I R (Διβ) $H^c$ (Δϑ)
εἰς τὴν καρδίαν] om. τήν $H^c$ = 314; εν καρδια R | ἄν] εαν I = rell | σε/διασκορπίσῃ] tr. I = rell | κύριος]+ο θεος σου I = rell

30,2 καὶ ἐπιστραφήσῃ ἐπὶ κύριον τὸν θεόν σου καὶ ὑπακούσῃ τῆς φωνῆς αὐτοῦ κατὰ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου.
I R (Διβ) $H^c$ (Δϑ)
ἐπί]προς I = 767 ... | om. ἐγώ I = Bo | ἐντέλλομαί/σοι] tr. I = F ...

30,3 καὶ ἰάσεται κύριος τὰς ἁμαρτίας σου καὶ ἐλεήσει σε καὶ πάλιν συνάξει σε ἐκ πάντων τῶν ἐθνῶν, εἰς οὓς διεσκόρπισέν σε κύριος ἐκεῖ.
I R (Διβ) $H^c$ (Δϑ)
κύριος 2°]+ο θεος σου I = rell

30,19 (αα) διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν
(αβ) Τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα πρὸ προσώπου ὑμῶν,
(αγ) τὴν εὐλογίαν καὶ τὴν κατάραν·
(b) καὶ ἔκλεξαι τὴν ζωήν, ἵνα ζῇς σὺ καὶ τὸ σπέρμα σου.
I ab: K (Αγ) $M^{ML}$ (Αβ); a: V (Αϑ); ααβ: R (Αβ) T (Αβ) $L^a$ (Αβ)
II ab: R (Αια) $H^c$ (Αϑ) T (Αια) $L^a$ (Αια)
init.] pr. ακουε Ισραηλ II | om. τε $V^{EV}$ = 376 ... | πρό]επι $V^{Mi}$ | τήν 3°] pr. και $KVM^{ML}$ = Aeth | om. καί 4° $H^cT$ (II) = B ... | ἔκλεξαι] -λεξασθε (-σθαι K) $KM^{ML}$ = Anast | ζωήν 2°]πρωτην R (II) $L^a$ | ζῇς σύ]ζησησθε (-σεσθε $KM^L$) υμεις $KM^{ML}$ = Anast | σου]υμων $KM^{ML}$ = Anast

30,20 aba ἀγαπᾶν κύριον τὸν θεόν σου, εἰσακούειν τῆς φωνῆς αὐτοῦ καὶ ἔχεσθαι αὐτοῦ· ὅτι τοῦτο ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν σου.
I R (Αια) $H^c$ (Αϑ) T (Αια) $L^a$ (Αια)
εἰσακούειν] pr. και I = 82 ...; ακουειν I = 71 | ἔχεσθαι]ερχ. $H^cT$ = 314 | om. ἡ 1° I = 707 | om. ἡ 2° I | μακρότης]μακαριοτης $H^cT$ | om. τῶν I

32,4 (a) θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ,
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις·



Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

(bα) θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία·
(bβ) δίκαιος καὶ ὅσιος κύριος.
I ab: C (Κα); abα: $V^{EV}$ (Κια); a: $V^{W}$ (Κια) R (Κκδ) $M^{PM}$ (Κι)
θεός 1°] κυριος R = 130 | κρίσις]-σεις $CV^{W}R$ = rell | ἀδικία]+εν αυτω $CV^{EV}$ = $F^{b}$ … | κύριος] pr. ο C = $F^{b}$ …

32,5b γενεὰ σκολιὰ καὶ διεστραμμένη.
I R (Γς) $M^{M}$ (Γιζ) $H^{b}$ (Γς) T (Γς)

32,6a (αα) ταῦτα κυρίῳ ἀνταποδίδοτε
(αβ) οὕτως λαὸς μωρὸς καὶ οὐχὶ σοφός;
I αβ: R (Αξγ) II a: R (Γς) $H^{b}$ (Γς) T (Γς); αα: $M^{M}$ (Γιζ)
ἀνταποδίδοτε]-ται R (II) $M^{M}H^{b}T$ | οὕτως]ουτος I R (II) $H^{b}T$ = $F^{b}$ …

32,7b ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσίν σοι.
I V (Γδ) R (Γγ) $M^{M}$ (Γς) $H^{a}$ (Γδ) T (Γι) $Ant.^{Mi}$ (ΙΙιζ) II V (Μια) R (Μβ) $M^{PM}$ (Μβ) $M^{M}$ (Μη)
om. καὶ ἐροῦσίν σοι $M^{P}$

32,8 (a) ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη,
ὡς διέσπειρεν υἱοὺς ᾿Αδάμ,
(b) ἔστησεν ὅρια ἐθνῶν
κατὰ ἀριθμὸν υἱῶν θεοῦ.
I ab: C (Αϑ) R (Ανγ) $H^{b}$ (Αζ); b: V (Αζ) M (Αμβ) T (Αξδ) $L^{c}$ (Αα)
ὡς]ους $CH^{b}$ = A … | ἔστησεν]εθετο $CM^{ML}H^{b}L^{c}$ | υἱῶν] αγγελων I = rell

32,9 καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ ᾿Ιακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ ᾿Ισραήλ.
I C (Αϑ) $M^{M}$ (Αμβ) $H^{b}$ (Αζ)

32,15 (αα) καὶ ἔφαγεν ᾿Ιακὼβ καὶ ἐνεπλήσθη,
(αβ) καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος,
(αγ) ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη·
(b) καὶ ἐγκατέλιπεν θεὸν τὸν ποιήσαντα αὐτόν,
καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ.
I ab: K (Εγ) $H^{c}$ (Εϑ) T (Εϑ); ααβ: V (Ειβ) $H^{a}$ (Ειβ) T (Εκα); αα: $M^{PM}$ (Εκ)
om. καί 1° I = $Aeth^{G}$ Arm | ἐγκατέλιπεν]-λειπεν $H^{c}T$ (Εϑ) = A …

32,16 παρώξυνάν με ἐπ᾿ ἀλλοτρίοις,
ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.
I R (Πιδ)

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

32,18 θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες
καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε.
I V (Αιβ) $M^{PM}$ (Αμδ) $H^{a}$ (Αια) T (Αξς) II $H^{c}$ (Ειη) T (Ελδ)
ἐγκατέλιπες]-λειπες II $V^{E}T$ (I) $M^{PM}$ = A …

32,19 καὶ εἶδεν κύριος καὶ ἐζήλωσεν,
καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.
I $H^{c}$ (Ειη) T (Ελδ)
εἶδεν]ιδεν I | αὐτοῦ]αυτων I = rell

32,20 (a) καὶ εἶπεν 'Αποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν,
καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων·
(b) ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν,
υἱοί, οἷς οὐκ ἔστιν πίστις ἐν αὐτοῖς.
I b: $M^{M}$ (Γιζ) II a: $H^{c}$ (Ειη) T (Ελδ)

32,22 (αα) ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου,
(αβ) καυθήσεται ἕως ᾅδου κάτω,
(b) καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς,
φλέξει θεμέλια ὀρέων.
I ab: C (Αιβ) $H^{a}$ (Αια) $H^{b}$ (Αι); αα: R (Αοα)
om. ὅτι I: init. | κάτω]κατω$^{τ}$τα $CH^{a}H^{b}$

32,23 (a) συνάξω εἰς αὐτοὺς κακά,
(b) καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.
I ab: C (Αιβ) $H^{a}$ (Αια) $H^{b}$ (Αι); b: R (Αοα)

32,39 (a) ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι,
καὶ οὐκ ἔστιν θεὸς πλὴν ἐμοῦ·
(bα) ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω,
(bβ) πατάξω κἀγὼ ἰάσομαι,
(c) καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.
I a: V (Αα) $M^{M}$ (Αλς) $H^{a}$ (Αα) T (Ανη) $L^{c}$ (Ανγ) II abα: C (Αβ) R (Αβ) $H^{a}$ (Ανς) III bc: T (Ανθ); c: V (Αγ) V (Αβ) R (Αμζ) M (Αλζ) IV abα: C (Αι) R (Αογ) $H^{b}$ (Αι) V ab: $V^{EV}$ (Πλγ); a: $V^{W}$ (Πλγ); b: $M^{P}$ (Πβ) VI b: Ant.$^{M}$ (apd.)
om. ἴδετε 2° $V^{EV}$ (I) $V^{E}$ (V) T (I) = $^{Lat}$cod 419 … | εἰμι]+θεος $L^{c}$ = 550 … | om. θεός $L^{c}$ | ἐγώ] pr. και VI | om. καί 3° III (sine T) = Bo

32,40 ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου
καὶ ὀμοῦμαι τὴν δεξιάν μου
καὶ ἐρῶ Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.
I C (Αβ) R (Αβapd.) $H^{a}$ (Ανς)
om. ὅτι I: init. | τὴν δεξιάν]τη δεξια CR = rell


Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

32,41 aβb (aβ) καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου,
(bα) καὶ ἀνταποδώσω (bβ) δίκην τοῖς ἐχθροῖς,
(bγ) καὶ τοῖς μισοῦσίν με ἀνταποδώσω.
I aβb: C (Κα) $V^{V}$ (Κια); aβba: $V^{W}$ (Κια) $M^{PM}$ (Κι); bβγ: R (Κκδ)
om. καί 1° $CV^{WV}M^{PM}$: init. | μου 1°]+και εκδικησω $CV^{WV}M^{PM}$ = Tht | om. με ἀνταποδώσω $V^{V}M^{PM}$: fin.

32,43 a.cd (a) εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ,
καὶ προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ·
(c) ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται,
καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς,
καὶ τοῖς μισοῦσιν ἀνταποδώσει,
(d) καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.
I a: C (Αη) R (Αοε) $H^{b}$ (Aς) II d: C (Αια) R (Ανε) $H^{a}$ (Ανζ) III c: C (Αιβ) R (Αιβapd.) $H^{a}$ (Ανη) $H^{b}$ (Αι)
υἱοί] pr. οι I = 46 313; αγγελοι I = rell | ἀνταποδώσει]-σω C (III) = 75 $^{Lat}$cod 398 | μισοῦσιν]+αυτον III = $F^{b}$ ... | om. καί 5° II: init.

33,1 Καὶ αὕτη ἡ εὐλογία, ἣν εὐλόγησεν Μωυσῆς ἄνθρωπος τοῦ θεοῦ τοὺς υἱοὺς Ἰσραὴλ πρὸ τῆς τελευτῆς αὐτοῦ.
I C (Εε) $H^{a}$ (Ελ)
om. Καί I = F ...

33,6 Ζήτω Ῥουβὴν καὶ μὴ ἀποθανέτω,
καὶ ἔστω πολὺς ἐν ἀριθμῷ.
I C (Εε) $H^{a}$ (Ελ)
Ῥουβήν]Ρουβιμ I = 72 ...

33,7 bc (b) Εἰσάκουσον, κύριε, φωνῆς Ἰούδα,
καὶ εἰς τὸν λαὸν αὐτοῦ εἰσέλθοις ἄν·
(c) αἱ χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ,
καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ.
I C (Εε) $H^{a}$ (Ελ)
φωνῆς]φωνην I = Or | εἰσέλθοις ἄν]ελθοιεν I = $n^{-54}$ ... | αὐτῷ]αυτον I = 52 ...

33,8 b Δότε Λευὶ δήλους αὐτοῦ,
καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ.
I C (Εε)
Λευί] pr. τω I | ἀλήθειαν]-θεια I

33,9 ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί Οὐχ ἑώρακά σε,
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω,

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω·
ἐφύλαξεν τὰ λόγιά σου
καὶ τὴν διαθήκην σου διετήρησεν.
I C (Εε) $H^a$ (Ελ)
πατρί]+αυτου I = rell | μητρί]+αυτου I = rell | ἐπέγνω]εγνω C = A ... | λόγια]δικαιωματα C = iustitias Pel | τὴν διαθήκην]τον νομον C

33,10 δηλώσουσιν τὰ δικαιώματά σου τῷ Ἰακώβ,
καὶ τὸν νόμον σου τῷ Ἰσραήλ·
ἐπιθήσουσιν θυμίαμα ἐν ὀργῇ σου
διὰ παντὸς ἐπὶ τὸ θυσιαστήριόν σου.
I C (Εε) $H^a$ (Ελ)

33,11 εὐλόγησον, κύριε, τὴν ἰσχὺν αὐτοῦ,
καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι·
κάταξον ὀσφὺν ἐπανεστηκότων ἐχθρῶν αὐτοῦ
καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν.
I C (Εε) $H^a$ (Ελ)
κάταξον]πατ. I = $F^{b1}$ ... | ὀσφύν]ισχυν I = 58 ...

33,12 (aα) Καὶ τῷ Βενιαμὶν εἶπεν
(aβ) Ἠγαπημένος ὑπὸ κυρίου κατασκηνώσει πεποιθώς,
(bα) καὶ ὁ θεὸς σκιάζει ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας,
(bβ) καὶ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσεν.
I aβbα: V (Δις) R (Κκε) $M^{PM}$ (Δκα) $H^a$ (Δις) $Ant.^{Mi}$ (ΙΙλα) II ab: C (Εε) $H^a$ (Ελ)
om. Καὶ τῷ Βενιαμὶν εἶπεν II | Ἠγαπημένος]αγαπωμενος $V^W$; pr. ο $VM^{PM}H^a$ (I) T | σκιάζει]σκιασει II $V^{Mi}$ = F ...; δοξασει I (sine $V^{Mi}$) | om. ἐπ' $V^W$ = $W^I$ 319 | αὐτῷ]αυτον $V^W$R = 54–75 799

33,13 Καὶ τῷ Ἰωσὴφ εἶπεν
Ἀπ' εὐλογίας κυρίου ἡ γῆ αὐτοῦ,
ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου,
καὶ ἀπὸ ἀβύσσων πηγῶν κάτωθεν.
I C (Εε) $H^a$ (Ελ)
Καὶ τῷ Ἰωσὴφ εἶπεν]Ιωσηφ I | Ἀπ']επ I = B ... | οὐρανοῦ] pr. του $H^a$ = $d^{-125}$ ... | om. καί 2° $H^a$ = 15-72 537 | ἀβύσσων]-σσου I = 376 ...

33,14 καὶ καθ' ὥραν γενημάτων ἡλίου τροπῶν,
καὶ ἀπὸ συνόδων μηνῶν.
I C (Εε) $H^a$ (Ελ)
γενημάτων]γενν. $H^a$ = 376 ... | μηνῶν]μονων $H^a$



Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

33,15 καὶ ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς,
καὶ ἀπὸ κορυφῆς βουνῶν ἀενάων.
I C (Εε) $H^{a}$ (Ελ)
κορυφῆς 1° ⌒ 2° C = $d^{(-125)}$ ... | ἀενάων]αενν. I = $F^{b}$ ...

33,16 καὶ καθ' ὥραν γῆς πληρώσεως.
καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν τῇ βάτῳ
ἔλθοισαν ἐπὶ κεφαλὴν Ἰωσήφ,
καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐν ἀδελφοῖς.
I C (Εε) $H^{a}$ (Ελ)
ὥραν]ωρων C | πληρώσεως]+αυτης I = $O^{-82}$ ... | ἔλθοισαν]ελθοι C = n ...; ελθοιεν $H^{a}$ = 52-414 | κεφαλήν]-λης I = 72 ...

33,17 (aα) πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ,
(aβ) κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ·
(bα) ἐν αὐτοῖς ἔθνη κερατιεῖ
(bβ) ἅμα ἕως ἐπ' ἄκρου γῆς.
(c) αὗται μυριάδες Ἐφράιμ,
καὶ αὗται χιλιάδες Μανασσή.
I aβbα: V (Βϑ) R (Ββ) $M^{PM}$ (Βιβ) $H^{a}$ (Βϑ) II ab: C (Εε) $H^{a}$ (Ελ)
πρωτότοκος]-κοις $H^{a}$ (II) | μονοκέρωτος]-ρατος $H^{a}$ (II) | ἐν] pr. και $V^{W}M^{PM}$ = Aeth | κερατιεῖ]κρατιει $V^{W}M^{M}$ = 15* | ἐπ']απ II = rell | γῆς] pr. της II = A ...

33,18 Καὶ τῷ Ζαβουλὼν εἶπεν
Εὐφράνθητι, Ζαβουλών, ἐν ἐξοδίᾳ σου,
καὶ, Ἰσσαχάρ, ἐν τοῖς σκηνώμασιν αὐτοῦ.
I C (Εε) $H^{a}$ (Ελ)
Ἰσσαχάρ]τω Ισσαχαρ ειπεν I = d ... | αὐτοῦ]αυτων C = 847 ...

33,19 ἔθνη ἐξολεθρεύσουσιν· καὶ ἐπικαλέσεσθε ἐκεῖ,
καὶ θύσετε θυσίαν δικαιοσύνης,
ὅτι πλοῦτος θαλάσσης θηλάσει σε,
καὶ ἐμπόρια παράλιον κατοικούντων.
I C (Εε) $H^{a}$ (Ελ)
ἐξολεθρεύσουσιν]εξολοθρ. I = rell | ἐπικαλέσεσθε]-σονται I = d ... | θύσετε]θυσουσιν I = d ...

33,20 aβb Εὐλογημένος ἐμπλατύνων Γάδ·
ὡς λέων ἀνεπαύσατο, συντρίψας βραχίονα καὶ ἄρχοντα.
I C (Εε)

33,22 b Δὰν σκύμνος λέοντος,
καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν.

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

I C (Eε) H$^{a}$ (Eλ) II C (Hα) R (Hδ)
καί]+αυτος II | ἐκπηδήσεται]-πηδησει II = A ... | τοῦ]των H$^{a}$

33,23 bc Νεφθαλὶ πλησμονὴ δεκτῶν,
καὶ ἐμπλησθήτω εὐλογίαν παρὰ κυρίου·
θάλασσαν καὶ λίβα κληρονομήσει.
I C (Eε) H$^{a}$ (Eλ)
Νεφθαλί]-λιμ C = 130 ...; -λειμ H$^{a}$ = rell | ἐμπλησθήτω]εμπλησθη H$^{a}$ | εὐλογίαν]-γιας I = rell | κυρίου]κυριω I

33,24 bc Εὐλογημένος ἀπὸ τέκνων Ἀσήρ,
καὶ ἔσται δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ.
βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ.
I C (Eε)

33,25 σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσται,
καὶ ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου.
I C (Eε)
καί/ὡς] tr. I = 848 ... | σου 1°] αυτου I | σου 2°] αυτου I

33,26 Οὐκ ἔστιν ὥσπερ ὁ θεὸς τοῦ ἠγαπημένου·
ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν βοηθός σου,
καὶ ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος.
I C (Eε)

33,27 καὶ σκέπασις θεοῦ ἀρχῆς
καὶ ὑπὸ ἰσχὺν βραχιόνων ἀενάων
καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν
λέγων Ἀπόλοιο.
I C (Eε)
om. καί 1° I = 376 | σκέπασις]σκεπασει σε I = rell | om. θεοῦ ἀρχῆς I | ἀενάων]αενν. I = 72 ... | Ἀπόλοιο]-λυω I = 318 ...

33,28 καὶ κατασκηνώσει Ἰσραὴλ πεποιθώς,
μόνος ἐπὶ γῆς Ἰακὼβ
ἐπὶ σίτου καὶ οἴνου,
καὶ ὁ οὐρανὸς αὐτῷ συννεφὴς δρόσῳ.
I C (Eε)
γῆς] pr. της I = b ... | ἐπί 2°]+γης I = O$^{-32}$ ... | αὐτῷ]σοι I = B ...

33,29 (a) μακάριος σύ, Ἰσραήλ·
τίς ὅμοιός σοι, λαὸς σῳζόμενος ὑπὸ κυρίου;



Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.

(b) ὑπερασπιεῖ ὁ βοηθός σου·
καὶ ἡ μάχαιρα καύχημά σου·
(c) καὶ ψεύσονταί σε οἱ ἐχθροί σου,
καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ.

I a: V (Αλα) R (Αμδ) M (Αλγ) $H^a$ (Ακθ) T (Ανε) $L^c$ (Αζ) II c: V (Βθ) R (Ββ) $M^{PM}$ (Βιβ) $H^a$ (Βθ) III a–c: C (Εε)

σύ 1°] σοι $M^P$ (I) | τίς]οτι $L^c$ | ὑπερασπιεῖ] pr. και III = 761 | καύχημά σου]καυχηματος III | om. καί 2° II = Aeth $Arm^{ap}$ | om. σύ 2° $M^P$ (II) = V | τὸν τράχηλον]τραχηλου II III | αὐτῶν]των εχθρων III

34,9 a καὶ Ἰησοῦς υἱὸς Ναυὴ ἐνεπλήσθη πνεύματος συνέσεως, ἐπέθηκεν γὰρ Μωυσῆς τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτόν.

I R (Σκς)

ἐνεπλήσθη]επλησθη I = 376 ... | om. αὐτοῦ I = Luc

## Nicht verifizierte Zitate

Του Δευτερονομιου

Ἀπαρατήρητος ὁ οἶκος τοῦ Ἰσραήλ.

R (Πιε) f. $229^a$

Deut. XXVII

Ἐπικατάρατος ὁ ὑστερῶν μισθὸν μισθωτοῦ καὶ ἐρεῖ πᾶς ὁ λαός Γένοιτο γένοιτο.

$Ant.^{GeMiML}$ (ΙΙλ)

om. γένοιτο 2° $Ant.^M$

Digitized by the Septuaginta-Unternehmen
of the Göttingen Academy of Sciences and Humanities
in 2013.